**ἀντισπαστικὸν (-ὸς) τρίμετρον (-ος) καταληκτικὸν (-ὸς) εἰς συλλαβήν / antispasticum trimetrum catalecticum**

**1.** Schol. in Aesch. *Eum.* 141 (I, p. 90. 13 sqq. Smith) + ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σποράδην κειμένων ια′, κώλων δὲ ἀντισπαστικῶν μονομέτρων καὶ διμέτρων καὶ τριμέτρων καταληκτικῶν <καὶ> ἀκαταλήκτων καὶ βραχυκαταλήκτων κθ′, ὧν τελευταῖον· (v. 178)

μιάστορ᾽ ἐκείνου πάσσεται.

Schol. in Aesch. *Eum.* 244 (I, p. 91. 1 sqq. Smith) + τὰ δὲ κῶλα ἀντισπαστικὰ ιδ′ ἡμιόλια καὶ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά.

× ⏑⏑× – ⏑ × ⏗ ⏑⏑⏑ ⏗ ⏑ ⏗ – ||

**2.** Hephaest. 32. 21 sqq. τῶν δὲ τριμέτρων (*scil.* ἀντισπαστικῶν) τὸ μὲν καταληκτικὸν τὸ μόνην τὴν πρώτην ἀντισπαστικὴν ἔχον, τὰς δὲ ἑξῆς ἄλλας ἰαμβικὰς Φαλαίκειον καλεῖται, οἷον· (Cratin. 359 [PCG IV, p. 296] Kassel-Austin)

χαῖρ᾽ ὦ χρυσόκερως βαβάκτα κήλων,
Πάν, Πελασγικὸν Ἄργος ἐμβατεύων.

Tzetz. *de metr. Pind.* 117. 3 sqq.

τὸ πρῶτον ἀντισπαστικὸν φαλαίκειον ὑπάρχει,
Φαλαίκου δὲ τὸ εὕρημα· ἀντίσπαστος ὑπάρχει
ἡ πρώτη συζυγία σοι, ἰαμβικαὶ αἱ ἄλλαι.
ὑπάρχει δὲ καὶ τρίμετρον, πλὴν καταληκτικόν τε.
ἄρχεται δ᾽ ὁ ἀντίσπαστος ἐνταῦθα ἐκ τροχαίου.
ἀντίσπαστος ἰαμβικαὶ συζυγίαι
– ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑.

Trich. 389. 29 sqq. τρίμετρα δέ (*scil.* ἀντισπαστικά), καταληκτικὸν μὲν τὸ ἐξ ἑνὸς μόνου ἀντισπάστου ποδός, τῶν δὲ ἑξῆς ἰαμβικῶν, τὸ προκείμενον ἔπος τό·

λύοισα δνοφερὰν κνέφαος ὁρμάν.

τοῦτο δὲ καὶ φαλαίκειον λέγεται, τοῦ ποιητοῦ Φαλαίκου πλειστάκις αὐτῷ χρησαμένου.

Plan. in Boethii *de cons.* 36 (p. 102 Papathomopoulos) τὸ δ´ εἶδος ἐστὶν ἀντισπαστικόν, ἀναμεμιγμένον ταῖς ἰαμβικαῖς συζυγίαις, τρίμετρον καταληκτικόν, ὃ καλεῖται φαλαίκειον· ἀντίσπαστος δὲ πούς ἐστιν ἐναντίος τῷ χοριάμβῳ ἐξ ἰάμβου καὶ τροχαίου τετρασύλλαβος· ὅτε δὲ ταῖς ἰαμβικαῖς ἀναμίγνυται, τρεπομένην ἔχει τὴν πρώτην χώραν εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα, ὡς καὶ ἐνταῦθα ἐκ σπονδείου καὶ τροχαίου τὸν ἀντίσπαστον συνεστήσατο. εἶτα ἰαμβικὰς ἐπήγαγε συζυγίας δύο, ὧν ἡ δευτέρα ἐστὶ καταληκτική.

Plan. in Boethii *de cons.* 153 (p. 112 Papathomopoulos) τὸ εἰκοστὸν δεύτερον εἶδός ἐστιν ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, περὶ οὗ εἴρηται ἐν τῷ τετάρτῳ (*scil.* εἴδει), ᾧ ὑπέταξε (*scil.* ὁ Βοηθός) χοριαμβικὸν τρίμετρον καταληκτικόν, περὶ οὗ εἴρηται ἐν τῷ δεκάτῳ· ἐχρήσατο δὲ τούτῳ ἅπαξ ἐνταῦθα.

Plan. in Boethii *de cons.* 172 (p. 114 Papathomopoulos) τὸ εἰκοστὸν πέμπτον

εἶδός ἐστιν ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται φαλαίκειον, περὶ οὗ εἴρηται ἐν τῷ τετάρτῳ (*scil.* εἴδει), ᾧ ὑπέταξεν (*scil.* ὁ Βοηθός) ἐλεγεῖον πενθημιμερές, περὶ οὗ εἴρηται ἐν τῷ πρώτῳ· ἐχρήσατο δὲ τούτῳ ἅπαξ ἐνταῦθα.

Anon. Vat. 22 (Pind. *Ol.* 9. 2)

⏓ – – ⏑ . ⏑ – . ⏑ – . ⏑ – . ⏓ .

καλλίνικος ὁ τριπλόος κεχλαδῶς

τρίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικόν. (Pind. *Ol.* 14. 13 sq.)

– ⏑ – ⏑ . ⏑ – . ⏑ – . ⏑ – . ⏓ .

πότνι᾽ ἀγλαία φιλησίμολπε

ὅμοιον (Pind. *Ol.* 14. 21 sq.)

⏑ ⏑ – ⏑ . ⏑ – . ⏑ – . ⏑ – . ⏓ .

-γελίαν Κλεόδαμον ὄφρ᾽ ἰδοῖς υἱ-

ὅμοιον.

Schol. vet. in Pind. *Ol.* 1 (p. 2. 5 sq. Tessier) τὸ ϛʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. τὸ ζʹ ὅμοιον τῷ ϛʹ.

Schol. rec. in Pind. *Ol.* 9 (p. 310. 9 sqq. Abel) τὸ γʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται φαλαίκειον. Φάλαικος γὰρ τούτου εὑρετής. ἔχει δὲ τὴν μὲν αʹ συζυγίαν ἀντισπαστικὴν ἢ καθαρὰν ἢ τρεπομένην εἰς τὰ δʹ τοῦ δισυλλάβου σχήματα, ὡς Ἡφαιστίων (p. 31. 16 sqq.) φησί, τὴν δὲ βʹ ἰαμβικήν, τὴν δὲ τελευταίαν ἀδιάφορον ἢ τροχαϊκὴν ἢ ἰαμβικήν.

Schol. rec. in Pind. *Ol.* 14 (p. 421. 18 sqq. Abel) τὸ αʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν φαλαίκειον, τῆς αʹ συζυγίας τροχαϊκῆς, τῶν ἄλλων δὲ ἰαμβικῶν … (p. 422. 16 sqq.) τὸ ιγʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, τῆς αʹ συζυγίας τροχαικῆς ἤτοι παίωνος γʹ, τῶν δὲ ἑξῆς ἰαμβικῶν. ἐμοὶ δὲ ἀναπαιστικὸν δοκεῖ δίμετρον ἀκατάληκτον, τοῦ γʹ ποδὸς τριβράχεος.

Schol. vet. in Pind. *Isthm.* 7 (p. 31. 11 sqq. Tessier) τὸ αʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν ... τὸ δʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν.

Schol. in Aesch. *Ag.* 1100 (I, p. 86. 23 sq. Smith) + τὸ δʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν.

Schol. in Aesch. *Ag.* 1136 (I, p. 87. 8 sq. Smith) + τὸ γʹ τρίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικὸν ὅμοιον ... τὸ εʹ ὅμοιον τῷ γʹ.

Schol. in Aesch. *Ag.* 1407 (I, p. 88. 11 Smith) + τὸ εʹ ὅμοιον (*scil.* ἀντισπαστικὸν τρίμετρον καταληκτικόν).

Schol. in Aesch. *sept.* 951-960c (II 2, p. 390. 1 sq. Smith) + τὸ ζʹ ὅμοιον (*scil.* ἀντισπαστικὸν τρίμετρον καταληκτικόν) ἐκ διτροχαίου, ἐπιτρίτου τρίτου καὶ βακχείου.

Schol. Tricl. in Eur. *Or.* 831-843a (p. 60 de Faveri) τὸ γ´ ἀσυνάρτητον ἐκ δακτυλικοῦ διμέτρου καὶ τροχαικοῦ ἰθυφαλικοῦ. εἰ δὲ βούλει ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου δ´, διιάμβου καὶ βακχείου.

Schol. A in Hephaest. 143. 15 sqq. ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται φαλαίκειον· δέχεται δὲ ἕνα ἀντίσπαστον, ἤτοι τέταρτον ἐπίτριτον, καὶ τρεῖς ἰάμβους καὶ συλλαβήν· (Cratin. 359. 1 [PCG IV, p. 296] Kassel-Austin)

χαῖρ᾽ ὦ χρυσόκερως

καὶ τὰ ἑξῆς.

Apthon. GL VI 88. 34 sqq. quae (*scil.* metra) admixta sunt iambicis coniugationibus antispastica et iucundiora sunt et sonora, quod accidere etiam in choriambicis versibus diximus quadam iamborum pedum quasi coniugatione coniuncta, veluti trimetrum (*scil.* antispasticum) catalecticum, quod solam habeat primam coniugationem antispasticam, pars autem eius residua iambico dimetro catalectico suppleatur, ut:

libens hoc tibi < … > persolvo, amare nolo quemquam.

× × – ⏑ ⏑ – – – ⏑ × – – ||

**3**. Schol. anon. in Eur. *Or*. 960-1017 (p. 17. 31 sq. Smith) τὸ ξ΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ δύο ἀντισπάστων καὶ βακχείου.

Schol. in Aristoph. *eq*. 551b (p. 139. 8 sq. Jones-Wilson) vet τὸ δὲ ἔνατον καὶ τὸ δέκατον ἀντισπαστικὰ τρίμετρα καταληκτικά.

Schol. rec. in Aristoph. *ran*. 323-336. 5 sqq. (p. 60 Chantry) τὸ γ′ (v. 326) ‘ἐλθὲ τόνδ᾽ ἀνὰ λειμῶνα χορεύσων᾽ τρίμετρος καταληκτικὸς ἐκ διτροχαίου καὶ ἀντισπάστου καὶ βακχείου.

Schol. rec. in Aristoph. *ran*. 323-339. 7 sq. (p. 61 Chantry) τὸ δ′ (v. 326) ὅμοιον τρίμετρον (*scil.* ἀντισπαστικόν), καταληκτικόν· καλεῖται δὲ ἀλκαικόν, διὰ τὸ ἔχειν μέσον τὸν ἀντίσπαστον.

Schol. in Aristoph. *ran*. 323-353. 4 sq. (p. 61 Chantry) τὸ τέταρτον (*scil.* ἀντισπαστικὸν τρίμετρον καταληκτικόν) ἐκ διτροχαίου, ἀντισπαστικοῦ καὶ βακχείου, ἀλκαικόν, φασί, καλούμενον.

Schol. rec. in Aristoph. *ran*. 340-353a. 5 sqq. (p. 65 Chantry) τὸ γ′ (v. 343) ‘νυκτέρου τελετῆς φωσφόρος ἀστήρ᾽ τρίμετρος (*scil.* ἀντισπαστικός) καταληκτικός, ἐκ διτροχαίου, ἀντισπάστου καὶ βακχείου.

Schol. rec. in Aristoph. *ran*. 340-353b. 5 sqq. (p. 66 Chantry) τὸ δ′ (v. 343) ὅμοιον τῷ δ′ (*scil.* τῆς στροφῆς) τρίμετρον (ἀντισπαστικόν) καταληκτικόν, ὃ καλεῖται ἀλκαϊκόν. οὗτος γὰρ τούτῳ ἐχρήσατο κατακόρως.

Schol. B in Hephaest. 260. 24 sqq. ἡ δὲ τρίτη ἐπιπλοκὴ καλεῖται μὲν τετραδική, ἐπειδὴ τέσσαρα ἐξ αὐτῆς εἴδη ἐπιπλέκεται, ἀντισπαστικόν, χοριαμβικόν, ἰωνικὰ δύο, ἑξάσημος δέ, ἐπειδὴ ἕκαστος τούτων ἑξάχρονός ἐστιν. ἐπιπλέκεται δὲ ἐξ ἀλλήλων τοῦτον τὸν τρόπον· τίθημι μέτρον ἰωνικὸν ἀπὸ μείζονος·

βλαστεῖ δ᾽ ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

τοῦτο ἀπὸ μείζονος ἰωνικὸν τετράμετρον βραχυκατάληκτον· ἀφαιρῶ αὐτοῦ τὴν πρώτην συλλαβήν, τὸ καταλειπόμενον γίνεται χοριαμβικόν·

στεῖ δ᾽ ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

ἀφαιρῶ καὶ τὴν δευτέραν, τὸ καταλειπόμενον γίνεται ἰωνικὸν ἀπ᾽ ἐλάσσονος·

ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.

ἀφαιρῶ καὶ τὴν τρίτην, τὸ καταλειπόμενόν ἐστιν ἀντισπαστικόν·

πὶ γῆς δένδρεα παντοῖα φύοντα.

εἰ δὲ καὶ τὴν τετάρτην ἀφέλῃς, εἰς τὸ ἀρχαῖον ἀναδραμεῖ τὸ ἀπὸ μείζονος·

γῆς δένδρεα παντοῖα φύοντα.

Apthon. GL VI 88. 28 sq. trimetrum (*scil.* antispasticum) catalecticum anacreontium ita:

amor te meus o pulchra puella.

Atil. Fortvn. GL VI 288. 23 sq. trimetrum (*scil.* antispasticum) catalecticum:

quae rupes habeant hic et opacae.

Serv. GL IV 463. 22 sq. de anacreontio. anacreontium constat trimetro (*scil.* antispastico) catalectico, ut est hoc:

curas mistificant dona Lyaei.

× × – ⏑ ⏑ ⏖ ⏖ ⏑ ⏖ ⏑ – ||

**4.** Tzetz. *de metr. Pind.* 107. 20 sq.

τὸ πρῶτον ἀντισπαστικὸν καὶ τρίμετρον τυγχάνει,
πρὸς τούτοις καταληκτικὸν, ἀδιαφόρου πρώτου·

Anon. Vat. 23 (Pind. *Ol.* 13. 1 sq.)

⏑ ⏔ – ⏑ . ⏑ – – ⏑ . – ⏑ – .

τρισολυμπιονίκαν ἐπαινέων

τρίμετρον καταληκτικὸν ἀντισπαστικὸν καθαρόν· παρηνομήθη δὲ ὁ τρίτος ποὺς ἀρχόμενος ἀπὸ τροχαίου, ἡ ἐναλλαγὴ γὰρ τοῦ ἀντισπάστου εἰς τοῦ δισυλλάβους πόδας εἰς τὴν ἀρχὴν τοῦ πρώτου ποδὸς ὀφείλει γίνεσθαι μόνον.

Schol. vet. in Pind. *Ol.* 13 (p. 11. 10 sqq. Tessier) τὸ α′ ἀντισπαστικὸν τρίμετρον <καταληκτικὸν> (*add. Tzetzes*) ἀπὸ α′ ποδὸς ἀδιαφόρου καὶ τροχαίου. ὁ γ′ ποὺς παρηνομήθη· ὁ γὰρ ἀντίσπαστος ἀπὸ β′ τροχαίων, ὅπερ πάσχει κατὰ μέσον.

Schol. vet. in Pind. *Pyth.* 2 (p. 15. 27 sq. Tessier) τὸ ζ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν πινδαρικόν, ἀπὸ τροχαίου εἰς τροχαῖον.

Schol. vet. in Pind. *Nem.* 3 (p. 23. 4 sq. Tessier) τὸ ς´ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν.

Schol. rec. in Pind. *Ol.* 13 (p. 383. 8 sqq. Abel) τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος γ′. ἀδιάφορος γάρ ἐστιν ἡ α′ συζυγία. ἃ δὲ περὶ τούτου λέγουσιν, οὔ μοι δοκεῖ εὔλογα.

Schol. rec. in Pind. *Pyth.* 2 (p. 458. 4 sqq. Abel = p. 168. 5 sqq. Irigoin) τὸ ζ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστων β′, τοῦ πρώτου πεντασυλλάβου διαλελυμένου καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς ἤτοι κρητικοῦ.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 49. 12 sqq. Smith) † τὸ β′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ <ἀντισπάστων> δύο καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου ... τὸ ς′ ὅμοιον κατὰ πάντα τ<ῷ β′>.

Schol. Tricl. in Eur. *Phoen.* 1508-1538a (p. 121 de Faveri) τὸ κθ´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν τοῦ β´ ποδὸς ἐξαβράχεος.

⏗× ⏗× – ⏑ × ⏖ ⏑ ⏖ ⏖ ⏑ – ||

**5.** Schol. rec. in Pind. *Pyth.* 11 (p. 176. 29 sq. Irigoin) τὸ δ´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου πεντασυλλάβου διαλελυμένου, διιάμβου καὶ κρητικοῦ.

Schol. in Aesch. *Ag.* 1114 (I, p. 86. 33 sq. Smith) † τὸ δὲ ε′ τρίμετρον καταληκτικὸν ἀντισπαστικὸν καὶ αὐτό.

Schol. in Aesch. *Ag.* 1119 (I, p. 86. 36 sq. Smith) † τὸ γʹ καὶ δʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν.

Schol. in Aesch. *Ag.* 1140 (I, p. 87. 12 Smith) † τὸ δʹ τρίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικόν.

Schol. in Aesch. *Ag.* 1162 (I, p. 87. 21 Smith) † τὸ δʹ ὅμοιον (*scil.* ἀντισπαστικὸν τρίμετρον καταληκτικόν).

⏑ ⏖ – ⏑ × ⏕ ⏑ ⏕ ⏑ ⏑ – ||

**6.** Schol. in Aesch. *Ag.* 1119 (I, p. 86. 36 sq. Smith) † τὸ γʹ καὶ δʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν.

Schol. in Aesch. *Ag.* 1407 (I, p. 88. 11 Smith) † τὸ δʹ ὅμοιον (*scil.* ἀντισπαστικὸν τρίμετρον καταληκτικόν).

Schol. rec. in Pind. *Pyth.* 11 (p. 176. 13 sqq. Irigoin) τὸ ε´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου πεντασυλλάβου διαλελυμένου, ἰαμβικῆς συζυγίας ἢ παιῶνος τετάρτου, καὶ ἀναπαίστου.

⏑ ⏕ – ⏑ – ⏑ ⏕ ⏑ – ⏑ – ||

**7.** Schol. rec. in Pind. *Pyth.* 6 (p. 172. 13 sq. Irigoin) τὸ θ´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, τροχαικῆς συζυγίας, ἤτοι ἐπιτρίτου δευτέρου, καὶ κρητικοῦ ἢ δακτύλου.

Schol. in Aesch. *sept.* 78-150b (II 2, p. 50. 18 sq. Smith) + τὸ μδʹ ὅμοιον τρίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικὸν ἐξ ἀντισπάστου, διτροχαίου καὶ κρητικοῦ.

Schol. Byz. in Soph. *Oed. tyr.* 1337 (p. 283. 5 sq. Longo) τὸ ε´ ὅμοιον (*scil.* ἀντισπαστικὸν τρίμετρον καταληκτικόν), τῶν δύο ποδῶν πεντασυλλάβων.

Schol. anon. in Eur. *Hec.* 1056-1084 (p. 8. 18 sqq. Smith) τὸ ιη´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, διτροχαίου καὶ ἀμφιμάκρου.

Sacerd. GL VI 538. 8 sqq. antispasticum dochmiacum euripidium trimetrum catalecticum fit antispasto, ditrochaeo, amphimacro:

† decretamus sic corona pulchra nos.

× × – ⏑ – ⏑ – × ⏑ ⏑ – ||

**8.** Tzetz. *de metr. Pind.* 38. 20 sqq.

ἀντίσπαστος ἀντίσπαστος ἀντίσπαστος καταληκτικός
⏑ – – ⏑ – ⏑ – ⏑ ⏑ ⏑ –

μὴ ταραττέτω δὲ ἡμᾶς δευτέρα συζυγία
τὸν πρῶτον πόδα ἔχουσα τροχαῖον, μὴ δ᾽ ἡ τρίτη
τὸν πρῶτον πόδα ἔχουσα πυρρίχιον εἰκότως·
ἔστι γὰρ ἀντιπάθεια, μέτρον τετηρημένον.

Anon. Harl. 23. 28 sq. τρίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικὸν εἰς συλλαβήν· (Pind. *Ol.* 1. 10)

Κρόνου παῖδ᾽ ἐς ἀφνεὰν ἱκομένους.

Schol. rec. in Pind. *Ol.* 1 (p. 47. 12 sqq. Abel) τὸ ιςʹ ἀντισπαστικὸν δίμε-

τρον (*immo* τρίμετρον) καταληκτικὸν ἐξ ἀντισπάστου, διτροχαίου καὶ ἀναπαίστου. καλεῖται δὲ τοῦτο φαλαίκειον, ὅτε τὴν μὲν α′ (*scil.* συζυγίαν) ἔχει ἀντισπαστικήν, τὰς δὲ λοιπὰς ἰαμβικάς. ἐνταῦθα δὲ ἀντιπαθής ἐστιν ἡ μῖξις αὐτοῦ.

Schol. vet. in Pind. *Pyth*. 6 (p. 18. 20 Tessier) τὸ θ´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν πινδαρικόν.

Schol. in Aesch. *sept*. 417-421d (II 2, p. 196. 2 sqq. Smith) + τὸ β′ ὅμοιον (*scil.* ἀντισπαστικὸν τρίμετρον καταληκτικόν) ἐξ ἀντισπάστου, ἐπιτρίτου δευτέρου καὶ ἀναπαίστου.

× × – ⏑ ⏑ – – – – – – ⏑ – ||

**9.** Schol. vet. in Pind. *Ol*. 13 (p. 11. 10 sqq. Tessier) τὸ α′ ἀντισπαστικὸν τρίμετρον <καταληκτικὸν> (*add. Tzetzes*) ἀπὸ πρώτου ποδὸς ἀδιαφόρου καὶ τροχαίου. ὁ γ′ ποὺς παρηνομήθη· ὁ γὰρ ἀντίσπαστος ἀπὸ β′ τροχαίων, ὅπερ πάσχει κατὰ μέσον.

Schol. rec. in Pind. *Ol*. 13 (p. 383. 8 sqq. Abel) τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος γ′. ἀδιάφορος γάρ ἐστιν ἡ α′ συζυγία. ἃ δὲ περὶ τούτου λέγουσιν, οὔ μοι δοκεῖ εὔλογα.

⏑ – – ⏑ – ⏑ ⏑ ⏑ ⏑ – ⏑ – ||

**10.** Schol. in Aesch. *sept*. 78-150b (II 2, p. 49. 12 sqq. Smith) + τὸ β′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ <ἀντισπάστων> δύο (?) καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου … τὸ ς′ ὅμοιον κατὰ πάντα τ<ῷ β′>.

Schol. in Aesch. *sept*. 417-421d (II 2, p. 196. 1 sq. Smith) + τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, παίωνος πρώτου καὶ κρητικοῦ.

Schol. in Aesch. *sept*. 452-456d (II 2, p. 208. 10 sqq. Smith) + ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχή· (v. 417)

τὸν ἁμόν νυν ἀντίπαλον.

καὶ αὕτη γὰρ κώλων ἐστὶν ἰσομέτρων ε′, πλὴν τὸ δεύτερον μὲν κῶλον (*scil.* τὸ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν) ἔχει τὸν δεύτερον πόδα ἀντὶ ἐπιτρίτου παίωνα τέταρτον (*immo* πρῶτον), τὸν δὲ τρίτον ἀντὶ δακτύλου κρητικόν.

Schol. in Aesch. *sept*. 563-567c (II 2, p. 254. 15 sq. Smith) + τὸ β′ ὅμοιον (*scil.* τρίμετρον ἀντισπαστικόν) καταληκτικὸν ἐξ ἀντισπάστου, παίωνος πρώτου καὶ κρητικοῦ.

Schol. Tricl. in Eur. *Or*. 316-331a (p. 51 de Faveri) τὸ ς´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, παίωνος α´ καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον.

Schol. Tricl. in Eur. *Phoen*. 301-354a (p. 99 de Faveri) τὸ κα´ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου ἐπιτρίτου πεντασυλλάβου καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον· εἰ δὲ βούλει καταληκτικὸν ἐξ ἀντισπάστου, παίωνος α´ καὶ δακτύλου.

⏑ – – ⏑ ⏑ – ⏑ ⏑ × – – ||

**11.** Schol. in Aesch. *sept*. 78-150b (II 2, p. 49. 22 sq. Smith) + τὸ ιβ′ ἀντι-

σπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, παίωνος δευτέρου καὶ διιάμβου διὰ τὴν ἀδιάφορον.

Schol. rec. in Pind. *Pyth*. 5 (p. 171. 20 sq. Irigoin) τὸ η´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, παιῶνος δευτέρου καὶ ἀμφιβράχεος.

⏑ – – ⏑ ⏑ ⏑ – ⏑ – ⏑ – ||

**12.** Schol. Byz. in Soph. *Oed. tyr.* 1210 (p. 280. 31 sqq. Longo) τὸ κη´ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ἐξ ἀντισπάστου, παίωνος γ´ καὶ κρητικοῦ.

⏑ – – ⏑ ⏑ ⏑ ⏑ – – ⏑ – ||

**13.** Schol. in Aesch. *sept*. 452-456d (II 2, p. 208. 10 sqq. Smith) + ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς ἧς ἡ ἀρχή· (v. 417)

τὸν ἁμόν νυν ἀντίπαλον.

καὶ αὕτη γὰρ κώλων ἐστὶν ἰσομέτρων ε′, πλὴν τὸ δεύτερον μὲν κῶλον (*scil.* τὸ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν) ἔχει τὸν δεύτερον πόδα ἀντὶ ἐπιτρίτου παίωνα τέταρτον (?), τὸν δὲ τρίτον ἀντὶ δακτύλου κρητικόν.

⏑ ⏑ ⏑ – ⏑ – ⏑ ⏑ ⏑ – – – – ⏑ – ||

**14.** Schol. anon. in Eur. *Hec*. 689-720 (p. 6. 29 sq. Smith) τὸ ιθ´ ὅμοιον (*scil.* ἀντισπαστικὸν τρίμετρον) καταληκτικὸν ἐκ παίωνος δ´, ἀντισπάστου καὶ μολοσσοῦ.

⏑ – – ⏑ – – ⏑ ⏑ ||

**15.** Anon. Harl. 24. 9 sq. τρίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικόν· (Pind. *Ol*. 1. 29)

δεδαιδαλμένοι ψεύδεσι ποικίλοις.

× – ⏑ – ⏑ – – ⏑ ⏑ ⏓ – ||

**16.** Schol. rec. in Pind. *Ol*. 1 (p. 48. 6 sqq. Abel) τὸ γ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, ἀντισπάστου καὶ ἀναπαίστου ἢ βακχείου. καλεῖται δὲ τοῦτο ἀλκαικὸν διὰ τὸ μέσον ἔχειν τὸν ἀντίσπαστον, ἑκατέρωθεν δὲ τὰς ἰαμβικάς.

× ⏖ ⏑ – ⏑ ⏖ ⏖ ⏑ – ⏑ – ||

**17.** Schol. rec. in Pind. *Ol*. 1 (p. 48. 10 sqq. Abel) τὸ δ′, ὡς ἐμοὶ δοκεῖ, σύνθετον ἤτοι ἀσυνάρτητον ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου, τὸν α′ ἔχοντος πόδα τρίβραχυν ἤγουν χορεῖον, καὶ τροχαϊκοῦ πενθημιμεροῦς. εἴη δ᾽ ἂν καὶ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ὅμοιον τῷ γ′, τὸν α′ ἔχον πόδα πεντασύλλαβον διίαμβον, τὸν β′ ἀντίσπαστον, τὸν δὲ γ′ κρητικὸν ἤτοι ἀμφίμακρον.

Schol. in Aesch. *Prom*. 593 (p. 48 Smyth) τὸ θ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου τρίτου ἀντισπάστου καὶ κρητικοῦ ἤτοι ἀμφιμάκρου, ὃ καλεῖται φαλαίκειον.

Schol. Byz. in Soph. *Oed. tyr.* 1337 (p. 283. 3 sqq. Longo) τὸ δ´ ἀντισπα-

στικὸν τρίμετρον καταληκτικὸν τοῦ α´ ποδὸς διιάμβου πεντασυλλάβου, τοῦ β´ ἑξαβράχεος καὶ δακτύλου.

Schol. Tricl. in Eur. *Or.* 1454-1472a (p. 79 de Faveri) τὸ θ´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, ἀντισπάστου καὶ κρητικοῦ. τὸ αὐτὸ εἴη ἂν καὶ ἀσυνάρτητον ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου καὶ τροχαικοῦ πενθημιμεροῦς.

– ⏑ – × ⏑ ⏑ ⏑ ⏑ – ⏑ – ⏑ – ||

**18.** Schol. Byz. in Soph. *Oed. tyr.* 1210 (p. 280. 23 sqq. Longo) τὸ κγ´ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ἐκ τροχαικῆς συζυγίας ἢ (καὶ Longo) ἐπιτρίτου β´, ἀντισπάστου πεντασυλλάβου καὶ ἀμφιμάκρου.

⏑ – ⏑ ⏑ ⏑ – – – ⏑ ⏑ – – ||

**19.** Anon. Harl. 24. 5 sq. τρίμετρον (*scil.* ἀντισπαστικόν) καταληκτικόν· (Pind. *Ol.* 1. 23 sq.)

δέ οἱ κλέος ἀν᾽ εὐάνορι Λυδοῦ.

– – – ⏑ – – – – ⏑ ⏑ ⏑ – ||

**20.** Schol. Tricl. in Eur. *Hec.* 1056-1084a (p. 40 de Faveri) τὸ κ´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτων δ´ δύο καὶ ἀναπαίστων διὰ τὴν ἀδιάφορον.

⏑ ⏑ – ⏑ – – – ⏑ – ⏑ ⏑ – – ||

**21.** Schol. in Aesch. *Ag.* 1407 (I, p. 88. 11 Smith) + τὸ ε′ ὅμοιον (*scil.* ἀντισπαστικὸν τρίμετρον καταληκτικόν).

× – ⏑ – – ⏑ – × – ⏑ – ||

**22.** Schol. in Aesch. *sept.* 932-940c (II 2, p. 385. 18 sq. Smith) τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, διτροχαίου καὶ κρητικοῦ.

Schol. in Aesch. *sept.* 941-946d (II 2, p. 387. 21 sqq. Smith) + τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, διτροχαίου καὶ κρητικοῦ διὰ τὴν ἀδιάφορον, ἢ δακτυλικὸν ὃ καλεῖται φαλαίκειον.

Schol. in Aesch. *sept.* 951-960c (II 2, p. 389. 33 sqq. Smith) + τὸ δ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, διτροχαίου ἢ ἐπιτρίτου β′ καὶ κρητικοῦ … τὸ ς′ ὅμοιον τῷ δ′ (*scil.* τῷ ἀντισπαστικῷ τριμέτρῳ καταληκτικῷ) ἐξ ἐπιτρίτου τρίτου, διιάμβου (?) καὶ κρητικοῦ.

Schol. Byz. in Soph. *Oed. tyr.* 1200 (p. 280. 15 sqq. Longo) τὸ ιη´ ἀσυνάρτητον ἐξ ἰαμβικῆς συζυγίας καὶ τροχαικοῦ ἑφθημιμεροῦς. εἰ βούλει δέ, καὶ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν πολυσχημάτιστον ἐξ ἰαμβικῆς καὶ τροχαικῆς συζυγίας καὶ δακτύλου.

Schol. rec. in Aristoph. *ran.* 394-397a. 1 sqq. (p. 77 Chantry) μέλος χοροῦ κώλων ιθ′ (v. 394-413), ὧν α′ ‘ἄγ᾽ εἶά νυν καὶ τὸν ὡραῖον θεὸν᾽ ἀντισπαστικὸς τρίμετρος καταληκτικός, ἐκ διιάμβου, ἐπιτρίτου δευτέρου καὶ δακτύλου ἢ κρητικοῦ διὰ τὴν ἀδιάφορον.

⏑ – ⏑ – – – ⏑ – – – ⏑ ⏑ – ||

**23.** Schol. in Aesch. *sept*. 947-950c (II 2, p. 388. 33 sq. Smith) + τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ὅμοιον τῷ πρώτῳ τοῦ ἄνω συστήματος ἐκ διιάμβου, ἐπιτρίτου β′ καὶ ἀναπαίστου.

× – ⏑ – – – – ⏑ – ⏑ – – ||

**24.** Schol. rec. in Aristoph. *ran*. 398-415a. 6 sqq. (p. 78 Chantry) τὸ η′ (v. 401) ‘ἄνευ πόνου πολλὴν ὁδὸν περαίνεις’ τρίμετρος (*scil.* ἀντισπαστικός ?) καταληκτικός, ἐκ διιάμβου, ἐπιτρίτου τρίτου καὶ βακχείου.

Schol. rec. in Aristoph. *ran*. 398-415a. 17 sqq. (p. 78 Chantry) τὸ ιε΄ (v. 409) ‘καὶ γὰρ παραβλέψας τι μειρακίσκης’ ἀντισπαστικὸς τρίμετρος καταληκτικός, ἐξ ἐπιτρίτων τρίτων δύο καὶ βακχείου. τὸ ις′ (v. 410) ‘νῦν δὴ κατεῖδον καὶ μάλ’ εὐπροσώπου’ ὅμοιον κατὰ πάντα τῷ ιε′

Schol. rec. in Aristoph. *ran*. 398-415a. 21 sqq. (p. 78 Chantry) τὸ ιη′ (v. 412) ‘παραρραγέντος, τιτθίον προκύψαν’ τρίμετρος (*scil.* ἀντισπαστικός) καταληκτικός, ἐκ διιάμβου, ἐπιτρίτου τρίτου καὶ ἀμφιβράχεος ἢ βακχείου διὰ τὴν ἀδιάφορον.

⏑ – ⏑ – – ⏑ ⏑ ⏑ – ⏑ – ||

**25.** Schol. in Aesch. *sept*. 481-485d (II 2, p. 218. 13 sq. Smith) + τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, παίωνος πρώτου καὶ κρητικοῦ.

Schol. rec. in Aristoph. *nub*. 1154b. 2 sq. (p. 162 Koster) Tr² ὁ α΄ ἀντισπαστικὸς τρίμετρος καταληκτικὸς ἐκ διιάμβου καὶ παίωνος γ΄· ὁ β΄ ὅμοιος κατὰ πάντα (?).

⏑ – ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ||

**26.** Schol. rec. in Aristoph. *nub*. 1154b. 2 sq. (p. 162 Koster) Tr² ὁ α΄ ἀντισπαστικὸς τρίμετρος καταληκτικὸς ἐκ διιάμβου καὶ παίωνος γ΄· ὁ β΄ ὅμοιος κατὰ πάντα (?).

⏑ – ⏑ – – – – ⏑ ⏑ – – ||

**27.** Schol. Tricl. in Eur. *Phoen*. 202-238a (p. 94 de Faveri) τὸ ια΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ διιάμβου, ἐπιτρίτου δ΄ καὶ ἀμφιβράχεος.

⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ ⏑ – ||

**28.** Schol. in Aesch. *sept*. 521-525e (II 2, p. 238. 3 sq. Smith) + τὸ μέντοι πρῶτον κῶλον τὸν δεύτερον ἔχει πόδα χορίαμβον, τὸν δὲ τρίτον ἀνάπαιστον διὰ τὴν ἀδιάφορον.

⏑ – – – ⏑ – ⏑ – ⏑ – – ||

**29.** Schol. Tricl. in Eur. *Or*. 1474a-1505a (p. 80 de Faveri) τὸ κγ΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου πρώτου, διιάμβου καὶ βακχείου.

– ⏑ – – ⏑ – ⏑ – ⏑ – – ||

**30.** Schol. rec. in Pind. *Ol.* 2 (p. 106. 9 sqq. Abel) τὸ η′ ἰαμβικὸν μικτὸν ἀπὸ τροχαίων τρίμετρον καταληκτικόν. ἐμοὶ δὲ δοκεῖ ἀντισπαστικὸν εἶναι ἐξ ἐπιτρίτου β′ καὶ διιάμβων. οἰκεῖοι γὰρ οἱ πόδες ἀντισπάστῳ.

– – ⏑ – ⏑ – ⏑ – – ⏑ – ||

**31.** Schol. in Aesch. *sept.* 951-960c (II 2, p. 389. 35 sq. Smith) + τὸ ς′ ὅμοιον τῷ δ′ (*scil.* τῷ ἀντισπαστικῷ τριμέτρῳ καταληκτικῷ) ἐξ ἐπιτρίτου τρίτου, διιάμβου (?) καὶ κρητικοῦ.

– – ⏑ – ⏑ – – – – ⏑ – ||

**32.** Schol. rec. in Aristoph. *ran.* 431-439a. 2 sqq. (p. 85 Chantry) (v. 437 αἴροι᾽ ἂν αὖθις, ὦ παῖ, τὰ στρώματα) ἀντισπαστικὸς τρίμετρος καταληκτικός, ἐξ ἐπιτρίτου τρίτου, ἐκ πρώτου, καὶ δακτύλου. εἰ δὲ βούλει, χοριαμβικός, ἐκ χοριάμβου διὰ τὴν κοινὴν τοῦ ‘–ροι’.

⏑ ⏑ ⏑ – × – ⏑ – – ⏑ – ||

**33.** Schol. in Aesch. *sept.* 417-421d (II 2, p. 196. 3 sq. Smith) + τὸ γ′ ὅμοιον (*scil.* ἀντισπαστικὸν τρίμετρον καταληκτικόν) ἐκ παίωνος τετάρτου, διιάμβου καὶ κρητικοῦ.

⏑ ⏑ ⏑ – ⏑ ⏑ ⏑ ⏑ – ⏑ ⏑ – ||

**34.** Schol. Tricl. in Pind. *Pyth.* 11 (p. 176. 13 sqq. Irigoin) τὸ ε΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου πεντασυλλάβου διαλελυμένου, ἰαμβικῆς συζυγίας ἢ παιῶνος τετάρτου, καὶ ἀναπαίστου.

⏑ ⏑ ⏑ – – – – – ⏑ – ⏑ – ||

**35.** Schol. in Aesch. *sept.* 563-567c (II 2, p. 254. 17 sq. Smith) + τὸ δ′ ὅμοιον (*scil.* ἀντισπαστικὸν τρίμετρον καταληκτικόν) τῷ β΄ ἐκ παίωνος δ′, ἐπιτρίτου δ′ καὶ κρητικοῦ. [*P.S.*]